# 25 MARTIE

# CANON DE RUGACIUNE LA BUNAVESTIRE A PREASFINTEI NASCATOARE DE DUMNEZEU SI PURUREA FECIOAREI MARIA 11

# CANONIER-GR



# Ἕτερος κανὼν είς τὸν Εὐαγγελισμὸν τῆς παναγίας Θεοτόκου

Γερμανοῦ

ἦχος δ΄

**ᾠδὴ α΄**

Ἄισομαί[1] σοι Κύριε ὁ Θεός μου·

Ἄισομαί[2] σοι Κύριε ὁ Θεός μου· ὅτι άπέστειλας τὸν σὸν· ἄγγελον μηνύοντα· τὴν ἔνσαρκόν σου γέννησιν· τὴν έκ παρθένου Δέσποτα.

Ὡρισμένον μυστήριον πρὸ αίώνων· ένανθρωπήσεως[3] Θεοῦ· γνωρίζεται σήμερον· λεγόμενον ἄῤῥητον[4]· καὶ νοούμενον ἄγνωστον.

Σήμερον έλύθη τῆς πρωτοπλάστων· ἡ καταδίκη τῆς άρᾶς· χαρὰν γὰρ έδέξατο· τοῦ τόκου αύτῆς μήνυμα· ἡ μόνη Θεοτόκος ἁγνή.

*Θεοτόκιον·*

Σήμερον φυτεύεται τοῖς άνθρώποις· νέος παράδεισος τρυφῆς· έν μήτρᾳ παρθένου ἁγνῆς· έν ᾧ άπολαύομεν· τοῦ ξύλου τῆς ἀφθάρτου ζωῆς.

**ᾠδὴ β΄**

Δότε μεγαλωσύνην Χριστῷ τῷ Θεῷ·

Δότε λαοὶ μεγαλωσύνην Χριστῷ τῷ Θεῷ ἡμῶν· ὃς ἀσπόρως έν γαστρί· τῆς παρθένου συνελήφθη.

Σήμερον προπύλαια· τῆς Χριστοῦ σαρκώσεως· διηνοίχθη[5] μυστικῶς· κλείσαντα πύλας θανάτου.

Έν πίστει χορεύοντες· σὺν τῷ άγγέλῳ κράζομεν· Χαῖρε Μῆτερ Παρθένε· τοῦ βασιλέως τῆς δόξης.

Ίὸν τὸν τοῦ ὄφεως· σήμερον έξετίναξεν· έκ τῶν τῆς Ἔυας άκοῶν· τοῦ ἀρχαγγέλου ὁ λόγος.

*Θεοτόκιον·*

Ἄχραντε Δέσποινα· εὐλογημένε ἔνδοξε· τὸν Υἱόν σου καὶ Θεόν· φῶς τοῦ κόσμου δυσώπει.

**ᾠδὴ γ΄**

Ἐν Κυρίῳ Θεῷ μου ἐστερεώθη ἡ καρδία μου·

Δύναμις σοὶ Παρθένε· ἡ τοῦ ὑψίστου ἐπεσκίασεν· δι΄ ἧς οἱ ἀσθενοῦντες περιεζώσαντο δύναμιν.

Τοῦ τῆς σοφίας οἴκου· τοὺς θεμελίους κατεπήξατο· τὸ Πνεῦμα Θεοτόκε· ἐν σοὶ τὸ ἅγιον σήμερον.

Χαρὰν ἀκουτισθέντες· προφητικῶς καὶ ἀγαλλίασιν· τῷ φθόγγῳ τοῦ ἀγγέλου· πνευματικῶς καὶ ἑορτάσωμεν.

Τὴν Θεομήτορα Παρθένον· ὀρθοδόξως ἀνυμνήσωμεν· πρεσβεύει1 γὰρ ἀπαύστως· ὑπὲρ ἡμῶν πρὸς τὸν Κύριον.

**ᾠδὴ δ΄**

Εἰσακήκοα τὴν ἀκοήν σου καὶ ἐφοβήθην· κατενόησα2 τὰἔργα σου· καὶ ἐξέστην Κύριε.

Ὁ ἀσώματος νυμφαγωγός σοι ὤφθη Παρθένε· ὁ γὰρ λόγος σε ὁ ἄφραστος· ὑπὲρ λόγον ἐνυμφεύσατο.

Πνεῦμα ἅγιον ἐν τῇ γαστρί σου ἄχραντε Μῆτερ· τὸν ναὸν ἐζῳοπλάστησεν· τοῦ πρὸ αἰώνων Θεοῦ ἡμῶν.

Ὁ ἀρχάγγελος χοροστατῶν ἐν τῇ ἐκκλησίᾳ· ἀπειρόγαμε προσφθέγγεται· Χαῖρε Μῆτερ τῆς ζωῆς ἡμῶν.

Μήτερ ἄχραντε εὐλογημένη ἁγνὴ Παρθένε· τοὺς ὑμνοῦντάς σε

**ᾠδὴ ε΄**

τοῦ Θεοῦ :·—

Ἀναλαβὼν ἐξ ἡμῶν· τὸ ἡμέτερον ὅλον· ἐκτὸς τῆ

ς ἁμαρτίας· ἐκ Παρθένου Κύριε· εἷς προῆλθε ἐν δύο φύσεσι.

Χαῖρε Μαρία σεμνή· τοῦ Θεοῦ τὸ χωρίον· ἐξ οὗ ἀγεωργήτως· τῆς ζωῆς ὁ ἄσταχυς· Χριστὸς ὁ ἄρτος ἀνεβλάστησεν.

Χαῖρε Μαρία τερπνή· Χαῖρε πύρινε θρόνε· τοῦ πάντων βασίλεως· Χαῖρε σκῆπτρονȝ ἅγιον· τοῦ είς τὰἔθνη βασιλεύοντος.

Χαῖρε ἣν εἶπεν ποτέ· Ἠσαΐας Παρθένον· ἀνάνδρως συλλαβοῦσαν· καὶ ἀφθόρως τίκτουσαν· Ἐμμανουὴλ τὸν Θεὸν τὸν ἄψευστον.

*Θεοτόκιον·*

Τὴν τοῦ ἀγγέλου φωνήν· ἀσιγήτως ἡ κτίσις· προσφέρει σοι Παρθένε· Χαῖρε Μῆτερ ἄχραντε· Ἰησοῦ τοῦ Υἱοῦ τοῦ Θεοῦ.

**ᾠδὴ ς΄**

Ὁ τὸν προφήτην ἐν τῇ κοιλίᾳ τοῦ κήτους διαφυλάξας· ἅγιε Κύριε βοήθησόν με.

Ὁ ἐγκαινίσας· χαρὰν τῷ κόσμῳ· τῷ φθόγγῳ· τοῦ ἀρχαγγέλου· ἅγιε Κύριε βοήθησόν με.

Ὁ τὴν Παρθένον· καὶ μετὰτόκον Παρθένον· διαφυλάξας· ἅγιε Κύριε βοήθησόν με.

Ὁ ἐπ΄ ἐσχάτων· ἐνανθρωπήσας καὶ κόσμον· φῶς ἀνατείλας· ἅγιε Κύριε βοήθησόν με.

περίσῳζε· ἀπὸ πάσης περιστάσεως

**ᾠδὴ ζ΄**

Ὁ ἐν τῷ ὄρει Μωσεῖ συλλαλήσας·

Ὁ δι᾽ ἀγγέλου· τῇ σεμνῇ προσλαλήσας· Παρθένῳ· καὶ ἐν ταύτῃ κατασκηνώσας· εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς (τῶν πατέρων ἡμῶν).

Ὁ ἐν νεφέλῃ· παρθενικὴ διὰλόγου· σκηνώσας· ἥλιος τῆς δικαιοσύνης· εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς (τῶν πατέρων ἡμῶν).

Ὁ δι᾽ ἀγγέλου· τὴν χαρὰν ἀποστείλας· καὶ λύσας· τὰδάκρυα τῆς πρώτης Ἔυας· εὐλογητὸς (εἶ Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν).

Χαῖρε Μαρία· ἡ κεχαριτωμένη· ὁ θρόνος· τοῦ Θεοῦ. Χαῖρε Θεοτόκε· τὸ τῶν παρθένων καύχημα· καὶ μητέρων1 τὸ στήριγμα.

*Θεοτόκιον·*
Ὁ ἐν τῇ μήτρᾳ· τῆς Παρθένου οἰκήσας· καὶ ταύτην· οὐρανῶν2 πλατυτέραν δείξας· εὐλογητὸς (εἶ Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν).

**ᾠδὴ η΄**
Πάντα τὰἔργα τοῦ Θεοῦ·

Χαῖρε ἀπειρόγαμε Μῆτερ· ἀγνὴ Παρθένε· ἡ πῦρ ἀφλέκτως3· δεξαμένη ἐν σπλάγχνοις σου· ἐξ ἧς ὁ συνάναρχος Πατρὶ προῆλθεν Υἱός· σώζων τὸ γένος ἡμῶν· εἰς τοὺς αἰῶνας.

Χαῖρε κεχαριτωμένη· προεῖπεν ὁ ἄγγελος· σεμνὴ Παρθένε· μετὰσοῦ γὰρ ὁ Κύριος· Πνεύματος γὰρ ἁγίου· γέγονας· παστὰς καὶ θρόνος Θεοῦ· ὃν ἀνυμνοῦμεν πιστῶς· εἰς τοὺς αἰῶνας.

Χαῖρε ἡ χαρὰν τῷ κόσμῳ κυήσασα· καὶ τοῖς ἐν σκότει· τὸ φῶς ἀνατείλασα· ἐξ οὗ γὰρ ὁ νοητός· ἡμῖν ἔλαμψεν ἥλιος· φωτίζων4 τὸ γένος ἡμῶν· εἰς τοὺς αἰῶνας.

**ᾠδὴ θ΄**

Σὲ τὴν ἀπειρόγαμον Θεοτόκον· τὴν οὐράνιον παστάδα· τὴν τεκοῦσαν τὸν ἀρχηγὸν τῆς σωτηρίας ἡμῶν· ὕμνοις μεγαλύνομεν.

Σὲ τὴν δι᾽ ἀγγέλου δεξαμένην· εὐαγγέλια μεγάλα· καὶ ἐν τῷ λόγῳ· τὸν Λόγον συλλαβοῦσαν γαστρί· ὕμνοις μεγαλύνομεν.

Δύναμις ἐν σοὶ ἡ τοῦ ὑψίστου· ἐπεσκίασεν1 Παρθένε· ἐν ἐπελεύσει σεμνὴ ἁγίου Πνεύματος· ὕμνοις μεγαλύνομεν.

Σὲ τὴν τὸν Θεὸν Λόγον δεξαμένην· ὑπὲρ λόγον ἐν γαστρί σου· καὶ τεκοῦσαν σαρκί· εἰς σωτηρίαν ἡμῶν· ὕμνοις μεγαλύνομεν.

Σὲ τὴ ν βάτον ἣ ν Μωϋσῆ ς2 προεῖ δεν· καιομένην καὶ μὴ φλεχθεῖ σαν3· τὴ ν4 τὸ πῦ ρ δεξαμένην τῆ ς Θεότητος· ὕ μνοις μεγαλύνομεν.